# TEZAUR LITURGIC

## 15 IANUARIE
## +CHIRIL KOGHERAKIS, MITROPOLITUL RHODOSULUI

# PARACLISUL
## SF.IERARH
# GHERASIM II PALADA,
## PATRIARHUL ALEXANDRIEI

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 15 ΙΑΝΟΥΑΡΙΟΣ
# ΓΕΡΑΣΙΜΟΣ ΠΑΛΛΑΔΑΣ
# ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Μητροπολίτου Ῥόδου Κυρίλλου Κογεράκη**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾽ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α᾽. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β᾽. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ᾽. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ὡς ἀληθείας ἱερὸς θεηγόρος, καὶ εὐσεβείας θαυμαστὸς μυστηπόλος, καὶ Ἐκκλησίας ἄριστος Γεράσιμε ποιμήν, δόξης ἐκοινώνησας, τῆς ἀφράστου ἀξίως, καὶ ἐγένου μέτοχος, τῆς χαρᾶς τῶν Ἁγίων· ὅθεν δυσώπει Πάτερ σὺν αὐτοῖς,
ὑπὲρ ἡμῶν τὸν φιλάνθρωπον Κύριον.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν' (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Εὐχαῖς σου χάριν δίδου Κυρίλλῳ, Πάτερ.*

*Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Εὐχαῖς σου ἀόκνοις πρὸς τὸν Θεόν, αἴτει τὴν εἰρήνην, τοῖς τιμῶσί σε εὐλαβῶς, ὡς τῆς εὐσεβείας ὑποφήτην, καὶ Ὀρθοδόξων φωστῆρα Γεράσιμε.

Ὑμνοῦμέν σε Πάτερ χαρμονικῶς, ὅτι Ἱεράρχης, ἀναδέδειξαι εὐκλεής, καὶ πρέσβυς αἰτούμεθά σε θεῖον, πρὸς τὴν Ἁγίαν Τριάδα Γεράσιμε.

Χριστὸν ἀγαπήσας ἀπὸ παιδός, ἔλιπες ἐμφρόνως, εὐδοξίαν τὴν κοσμικήν· ὅθεν κοσμικῶν ἡμᾶς σκανδάλων, κηδεμονίᾳ σου ῥῦσαι Γεράσιμε.

*Θεοτοκίον.*

Ἀφράστως κυήσασα τοῦ Πατρός, τὸν ἄναρχον Λόγον, Θεομῆτορ ἄνευ σπορᾶς, παθῶν πολυτρόπων ἀλογίας, τῇ χάριτί Σου ἡμᾶς ἐλευθέρωσον.

*ᾨδὴ γ΄. Οὐρανίας ἀψῖδος.*

Ἱερώτατον βίον ἐπὶ τῆς γῆς ἔζησας, καὶ ἐν οὐρανοῖς τοῖς Ἀγγέλοις, ὤφθης συνέστιος· ὅθεν οὐράνωσον, ὡς συμπαθὴς τὰς καρδίας, τῶν ἀνευφημούντων σε, Πάτερ Γεράσιμε.

Στρατευθεὶς τῷ Κυρίῳ δι᾽ ἀρετῆς Ὅσιε, πᾶσαν ἀσεβῶν δυναστείαν, ἀνδρείως ᾔσχυνας· ὅθεν ἐνίσχυσον, τῆς εὐσεβείας τὸν δρόμον, καὶ ἡμᾶς πορεύεσθαι, Πάτερ Γεράσιμε.

Σωτηρίαν ἐξαίτει παρὰ Θεοῦ Ἅγιε, τοῖς ἐν ἀδιστάκτῳ καρδίᾳ, ἀναβοῶσί σοι· Χαῖρε Γεράσιμε, Ἀλεξανδρείας ἡ δόξα, Ἐκκλησίας καύχημα, καὶ γέρας ἄφθαρτον.

*Θεοτοκίον.*

Ὁ ἐκ Σοῦ ἀποῤῥήτως σωματωθεὶς Κύριος, τῶν Χριστιανῶν Σε Μητέρα, θέσει ἀνέδειξεν· ὅθεν ἀξίωσον, τῆς μητρικῆς Σου προνοίας, καὶ στοργῆς Θεόνυμφε, τοὺς ἀνυμνοῦντάς Σε.

Διάσωσον, Ἀλεξανδρείας ὁ πάνσοφος Ἱεράρχης, θεομακάριστε Πάτερ Γεράσιμε, τοὺς εὐφημοῦντάς σε πάσης κακοπραγίας.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Χριστοῦ τοῦ Θεοῦ τῷ ζήλῳ πυρπολούμενος, Αὐτῷ ἐκ παιδὸς προθύμως ἠκολούθησας, καὶ ποιμὴν ἰσάγγελος, Ἐκκλησίας ἐδείχθης Γεράσιμε· διὸ τρυφῆς τῆς ἄνω μετασχών, μνημόνευε πάντων τῶν τιμώντων σε.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ὕμνοις Πάτερ τιμῶμέν σε, ὡς ποιμένα γνήσιον ἐξαιτούμενοι, τὴν ἰσχὺν τῆς προστασίας σου, ἐν ταῖς περιστάσεσι Γεράσιμε.

Χάριν αἴτει οὐράνιον, τοῖς ἀνευφημοῦσί σου τὸ φιλάδελφον, δι᾽ οὗ γέγονας παράκλησις, τῷ λαῷ τῆς χάριτος Γεράσιμε.

Ἀπὸ πάσης διάσωσον, θλίψεως Γεράσιμε καὶ κακώσεως, τοὺς προστρέχοντας ἐκ πίστεως, τῇ θερμῇ πρεσβείᾳ σου πρὸς Κύριον.

*Θεοτοκίον.*

Ῥυπτικαῖς Σου δεήσεσι, σπίλου ἀνομίας με ἀποκάθαρον, Θεοτόκε ἀπειρόγαμε, ἵνα μεγαλύνω Σε σῳζόμενος.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ἵλεων ἡμῖν, τὸν φιλάνθρωπον ἀπέργασαι, καὶ γὰρ ἔχεις παῤῥησίαν πρὸς Αὐτόν, ὡς Αὐτοῦ θεράπων γνήσιος Γεράσιμε.

Νόσων χαλεπῶν, τῇ βοτάνῃ τῆς πρεσβείας σου, ἱκετεύομεν θεράπευσον ἡμᾶς, Ἱεράρχα παμμακάριστε Γεράσιμε.

Δόσεις ἀγαθάς, δωρεῶν Θεοῦ τῆς χάριτος, μὴ ἐλλίπῃς ἐξαιτούμενος ημῖν, τοῖς ἱκέταις σου μακάριε Γεράσιμε.

*Θεοτοκίον.*

Ἴθυνον ἡμῶν, τὰς πορείας πρὸς ἀνάβασιν, Θεονύμφευτε Μαρία ἀρετῶν, μητρικῇ χειραγωγίᾳ τῆς πρεσβείας Σου.

*Ὠδὴ στ΄. Τὴν δέησιν.*

Δυνάμωσον, τῇ πολλῇ σου χάριτι, τὴν καρδίαν μου δεινῶς κλονουμένην, ταῖς προσβολαῖς, καὶ δολίαις ἐφόδοις, τοῦ ἀρχεκάκου βελίαρ Γεράσιμε. Σὺ γὰρ κατήσχυνας αὐτόν, ἀρετῶν διαπρέψας ὑψώμασιν.

Οἱ μώλωπες, τῆς ψυχῆς προσώζεσαν, τοῦ ἀθλίου σου ἱκέτου παμμάκαρ· ἀλλὰ σὺ ἴασαι τούτους ἐκχέων, τῶν πρὸς Θεὸν προσευχῶν σου τὸ ἔλαιον, Γεράσιμε Πάτερ σοφέ, Ὀρθοδόξων τὸ νέον προτείχισμα.

Ὑπέρτερον, γεηρῶν φροντίδων με, παμμακάριστε Γεράσιμε δεῖξον, καὶ τὴν ζωήν μου προνοίας σου ῥάβδῳ, πρὸς ἀρετῶν ἀναβάσεις ὁδήγησον. Σὺ γὰρ ἐδείχθης ἀρετῆς, ὑποφήτης ἐν λόγοις καὶ πράξεσι.

*Θεοτοκίον.*

Κυήσασα, ἐξ ἁγνῶν αἱμάτων Σου, τοῦ ἐλέους Μαριὰμ τὸν δοτῆρα, ἐλέησόν με θερμῶς ἱκετεύω, ὡς ἀγαθὴ τὸν πανάθλιον δοῦλόν Σου, τῶν ἐνεστώτων συμφορῶν, ῥυομένη τὸν κάκιστον βίον μου.

Διάσωσον, Ἀλεξανδρείας ὁ πάνσοφος Ἱεράρχης, θεομακάριστε Πάτερ Γεράσιμε, τοὺς εὐφημοῦντάς σε πάσης κακοπραγίας.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.*

Τῆς Ἐκκλησίας ὁ νέος διδάσκαλος, καὶ Ὀρθοδόξων ὁ μέγιστος πρόμαχος, μακάριε Πάτερ Γεράσιμε, τῶν θλιβερῶν με τοῦ βίου ἀπάλλαξον, ὡς ἔχων συμπάθειαν ἄφατον.

Προκείμενον: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται.*

Στ.: *Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Εὐαγγέλιον, Ἱεραρχικόν.

Ὁ Ν' ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἱεράρχου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.
Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Ὅσιε Γεράσιμε, Ἀρχιερεῦ θεοφόρε, τῇ σεπτῇ πρεσβείᾳ σου, πάντες καταφεύγομεν, ἐκβοῶντές σοι· πρόφθασον Ἅγιε, συμπαθῶς ἐκ πάσης, περιστάσεως λυτρούμενος, κινδύνων θλίψεων, καὶ τῆς ἐπηρείας τοῦ δράκοντος, παθῶν ἐπαναστάσεως, καὶ ἀσθενειῶν τοὺς ἱκέτας σου. Σὺ γὰρ παῤῥησίας, ἐπλούτησας τὴν χάριν πρὸς Θεόν, ὡς Ἱεράρχης θεόσοφος, καὶ πιστῶν διδάσκαλος.

*Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ὕλης Πάτερ ῥούσης ἅπαν σύνδεσμον ῥῆξον ἐπιστασίᾳ τῇ σῇ, καὶ σύνδησον τὸν νοῦν μου, ἀγάπῃ τοῦ Σωτῆρος, θεομάκαρ Γεράσιμε, ἵνα κροτῶ σου ἀεί, φαιδρῶς τὰς ἀριστείας.

Ῥείθροις δρόσισον Πάτερ οἰκτιρμῶν σου ἀΰλων τὴν ταπεινήν μου ψχήν, καὶ τάχος τῶν πυρίνων, Γεράσιμε βελῶν με, τοῦ ἐχθροῦ περιφρούρησον. Σὺγ γὰρ ὑπάρχεις θερμός, προστάτης μου ἐν βίῳ.

Ἱλασμὸν ἡμῖν αἴτει καὶ πταισμάτων τὴν λύσιν παρὰ Χριστοῦ τοῦ Θεοῦ, Γεράσιμε παμμάκαρ, τοῖς πόθῳ σοι βοῶσι· χαῖρε Πάτερ ἰσάγγελε, Ἀλεξανδρείας φωστήρ, καὶ οἰκουμένης δόξα.

*Θεοτοκίον.*

Λυμαινόμενος Μῆτερ τοῦ δολίου δυνάστου ἐπιδρομαῖς χαλεπαῖς, θερμῶς Σε ἱκετεύω· ὡς ἄμετρον

πλουτοῦσα, πρὸς ἀνθρώπους συμπάθειαν, ἐλέησόν με τὸν Σόν, πανάθλιον οἰκέτην.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Λυπούντων Πάτερ, τῆς συστροφῆς λύτρωσαί με, καὶ παράκλησιν παράσχου τῇ ψυχῇ μου, τῇ γαληνοδώρῳ, δυνάμει τῶν εὐχῶν σου.

Ὡς κοινωνήσας, τῶν ἐκλεκτῶν τῆς μερίδος, καθικέτευε Θεὸν τὸν ἐν Τριάδι, Γεράσιμε Πάτερ, ὑπὲρ τῶν ὑμνητῶν σου.

Πόνων παντοίων, καὶ συμφορῶν ὀλεθρίων, ῥῦσαι ἅπαντας τοὺς ἐπικαλουμένους, τὴν ἀντίληψίν σου, Γεράσιμε ἐν βίῳ.

*Θεοτοκίον.*

Ἐλέησόν με, τὸν ταπεινόν Σου οἰκέτην, ὡς κυήσασα τὴν βρύσιν τοῦ ἐλέους, Χριστὸν τὸν Σωτῆρα, Παρθένε Θεοτόκε.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ταχὺ ἀντιλαβοῦ μου, καὶ πρυτάνευσόν μοι, τὰς δωρεὰς τῶν πολλῶν χαρισμάτων σου, Ἀρχιερεῦ θεοφόρε, Πάτερ Γεράσιμε.

Εὐχαῖς σου ταῖς ἁγίαις, φύλαττε καὶ φρούρει, τοὺς εὐφημοῦντάς σε Πάτερ Γεράσιμε, ὡς τῆς Χριστοῦ Ἐκκλησίας, νέον διδάσκαλον.

Ῥοαῖς τῆς χάριτός σου, ἄρδευσον πλουσίως, θεομακάριστε Πάτερ Γεράσιμε, ψυχὰς ὁμοῦ καὶ καρδίας, τῶν προσιόντων σοι.

*Θεοτοκίον.*

Ῥημάτων Θεοτόκε, τῆς δεήσεώς μου, ὡς πολυεύσπλαγχνος Μήτηρ ἐπάκουσον, καὶ τὴν ζωήν μου ἐκ πάσης, ῥῦσαι κακώσεως.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σὲ μεγαλύνομεν.

Χαίροις ὁ τῆς Κρήτης θεῖος βλαστός, καὶ Ἀλεξανδρείας, Πατριάρχης ὁ θαυμαστός· χαίροις εὐσεβείας, ὁ μέγας μυστηπόλος, Γεράσιμε καὶ γέρας, νέον τῆς πίστεως.

Δεῦτε εὐφημήσωμεν εὐλαβῶς, τῆς Ἀλεξανδρείας, τὸν φωστῆρα τὸν φαεινόν, τὸν ἐκ νήσου Κρήτης, ἐκλάμψαντα τῷ κόσμῳ, τῶν ἀρετῶν τῇ αἴγλῃ, θεῖον Γεράσιμον.

Πνεύματος γενόμενος ἀληθῶς, ἔμψυχον δοχεῖον, ἐργασίᾳ τῶν ἀρετῶν, ὤφθης Ἐκκλησίας, ποιμὴν ἡγιασμένος, ἐν τοῖς ἐσχάτοις χρόνοις, Πάτερ Γεράσιμε.

Ὅλον ἀναθέμενος σεαυτόν, ἐκ παιδὸς Κυρίῳ, χάριν ἔλαβς παρ᾽ Αὐτοῦ, καὶ Εὐαγγελίου, Γεράσιμε τῷ λόγῳ, τὴν ποίμνην σου πανσόφως, ἐμυσταγώγησας.

Θεῖον ἐργασάμενος τοῦ Θεοῦ, ἔσοπτρον παμμάκαρ, τὴν ψυχήν σου δι’ ἀρετῆς, ἐμφάσεις τὰς θείας, ἀπήστραψας τῷ κόσμῳ, Γεράσιμε φωτίζων, τοὺς εὐφημοῦντάς σε.

Πρέσβευε ἀπαύστως ὑπὲρ ἡμῶν, Γεράσιμε Πάτερ, τῶν τιμώντων σε εὐλαβῶς, ἵνα λυτρωθῶμεν, παθῶν τῆς τυραννίδος, κινδύνων πολυτρόπων, καὶ πάσης θλίψεως.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῆς ἡμῖν σφόδρα, μηδέ μνησθῆς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι᾽ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β᾽. Ὅτε ἐκ τοῦ ξύλου.*

Ὅλον, ἀναθέμενος σαυτόν, ἐκ παιδὸς ὡς πλήρης σοφίας, τῷ Βασιλεῖ τοῦ παντός, Ἱεράρχης γέγονας, ψήφῳ τῆς χάριτος, καὶ ἐδείχθης φερώνυμον, τῆς πίστεως γέρας, ἐν ἡμέραις θλίψεως, Πάτερ Γεράσιμε· ὅθεν, δοξασθεὶς ἐν ὑψίστοις, πάντοτε μνημόνευε πάντων, τῶν καταφευγόντων τῇ πρεσβείᾳ σου.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι᾽ εὐχῶν.*

